# ΤΥΠΙΚΟΝ

## ΤΗΣ ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

Τῆς Ἱεροσολύμοις Ἁγίας Λαύρας, τοῦ ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σάββα. αὕτη δὲ ἡ ἀκολουθία γίνεται, καὶ ἐν ταῖς λοιπαῖς ταῖς ἐν Ἱεροσολύμοις μοναῖς. Ἔτι δὲ καὶ ἐν ταῖς κατὰ τόπον Ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις.

### Εἴδησις τοῦ μικροῦ ἑσπερινοῦ. Κεφάλαιον, α΄.

Πρὸ τοῦ δῦναι τὸν ἥλιον, ἤγουν περὶ ὥραν δεκάτην τῆς ἡμέρας, ἀνέρχεται ὁ Κανδηλάπτης καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι, Καὶ κατελθὼν σημαίνει τὸ μικρόν. Καὶ συναχθέντων τῶν ἀδελφῶν ἐν τῇ ἐκκλησίᾳ, ἄρχεται ὁ ἱερεὺς λέγων. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν. Εἶτα ἄρχεται ὁ Ἐκκλησιάρχης. Δεῦτε προσκυνήσωμεν. Καὶ ψάλλει τὸν προοιμιακὸν ψαλμὸν τὸ, Εὐλόγει ἡ ψυχή μου, ἡσύχῳ φωνῇ καὶ ἠρεμαίᾳ. Εἶθ᾽ οὕτως λέγομεν τὸ, Κύριε ἐκέκραξα, εἰς τὸν ἦχον τῆς κυριακῆς. Ἱστῶμεν δὲ, στίχους, δ΄. Καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τοῦ ἤχου γ΄. Δευτεροῦντες τὸ ἕν. Δόξα καὶ νῦν θ΄. τὸ Τροπάριον τοῦ στίχου. Εἶτα τὸ φῶς ἱλαρόν, προκείμενον. Ὁ κύριος ἐβασίλευσεν. Ἀπὸ δὲ, τοῦ καταξίωσον, στιχηρὸν τοῦ στίχου, τὸ ἀναστάσιμον. Καὶ ἕτερα τῆς Θεοτόκου προσόμοια γ΄. Δόξα καὶ νῦν θ΄. τὸ, Νῦν ἀπολύεις τὸν δοῦλόν σου. Τὸ τρισάγιον, τὸ ἀναστάσιμον ἀπολυτίκιον. Καὶ ἀπόλυσις.

### Εἴδησις τοῦ μεγάλου ἑσπερινοῦ, καὶ τῆς ἀγρυπνίας διάταξις. κεφ. β΄.

Μετὰ τὸ δῦναι τὸν ἥλιον μικρὸν, ἀπέρχεται ὁ Κανδηλάπτης. Καὶ ποιεῖ μετάνοιαν τῷ προεστῶτι. Εἶτα ἀνέρχεται καὶ κρούει τὰς βαρέας χολέως, Ψάλλων καὶ τὸν ἄμωμον. Μετὰ δὲ τὸ πλήρωμα τούτων, Ἀπέρχεται καὶ ἅπτει τὰς

Τυπικ.

κανδήλας. Καὶ εὐτρεπίσας τὸν θυμιατὸν, Τίθησι λαμπάδας, μετὰ κηρομανουαλίων, εἰς τὸ μέσον τῆς Ἐκκλησίας. Ἔπειτα ἐξερχόμενος, σημαίνει τὸ μέγα. Εἶτα τὸ σιδηροῦν. Καὶ ὑποστρέψας ἵσταται κατενώπιον τῶν ἁγίων θυρῶν. Ὁ δὲ ἱερεὺς ἀναστὰς, ποιεῖ μετάνοιαν τῷ ἡγουμένῳ ἢ εἰς τὸν τόπον αὐτοῦ, Δῆλον ὅτι μὴ ἐνδημοῦντος. Καὶ ἀπελθὼν ποιεῖ μετανοίας, γ΄. ἔμπροσθεν τῶν ἁγίων θυρῶν, Καὶ εἰς τοὺς χοροὺς, πρὸς μίαν, Πάντων τῶν ἀδελφῶν καθημένων. Εἰσελθὼν δὲ καὶ εἰς τὸ ἅγιον βῆμα. Λέγει τὴν εὐχὴν τοῦ θυμιάματος καθ᾽ ἑαυτόν. Ὁ δὲ Κανδηλάπτης, ἐκφωνεῖ. Κελεύσατε, γεγωνοτέρᾳ φωνῇ, Κρατῶν καὶ τὴν λαμπάδα ἐν τῇ χειρὶ αὐτοῦ. Θυμιάσας δὲ ὁ ἱερεὺς σταυροειδῶς τὴν ἁγίαν Τράπεζαν, καὶ ὅλον τὸ Θυσιαστήριον, Ἐξέρχεται διὰ τῶν ἁγίων θυρῶν. Καὶ ποιήσας σταυρὸν μετὰ τοῦ θυμιατοῦ κατενώπιον τοῦ Ἱλαστηρίου, Ἀπέρχεται καὶ θυμιᾷ τὴν εἰκόνα τοῦ Ἁγίου. Εἶτα τὸν καθηγούμενον, καὶ εἰς τοὺς δύο χοροὺς κατὰ τάξιν, Τῆς λαμπάδος δηλονότι προπορευομένης αὐτοῦ. Ἐξελθὼν δὲ καὶ εἰς τὸν νάρθηκα, καὶ θυμιάσας ἐνταῦθα τοὺς ἀδελφοὺς κατὰ τάξιν, ὑποστρέφει, Καὶ εἰσελθὼν ἔσω τῆς βασιλικῆς πύλης, χαράττει μετὰ τοῦ θυμιατοῦ σταυρόν. Καὶ ἐκφωνεῖ μεγαλοφώνως, τὸ, Κύριε εὐλόγησον, Καὶ θυμιᾷ αὖθις τὸν προεστῶτα, ἢ εἰς τὸν τόπον αὐτοῦ. Εἶτα τὸ Ἅγιον. Καὶ εἰσελθὼν εἰς τὸ ἅγιον βῆμα, ἵσταται ἔμπροσθεν τῆς ἁγίας τρα-